# Alkmaión

Fragmenta DK 24 B

**B 1** = Diogenés Laertios, Vitae philosophorum VIII, 83 (cfr. A 1)
᾽Αλκμαίων Κροτωνιήτης τάδε ἔλεξε Πειρίθου υἱὸς Βροτίνωι καὶ Λέοντι καὶ Βαθύλλωι· περὶ τῶν ἀφανέων, περὶ τῶν θνητῶν σαφήνειαν μὲν θεοὶ ἔχοντι, ὡς δὲ ἀνθρώποις τεκμαίρεσθαι καὶ τὰ ἑξῆς.

**B 1a** = Theofrastos, De sensu et sensibilibus 25 (Alkmaión A 5)
ἄνθρωπον γάρ φησι τῶν ἄλλων διαφέρειν ὅτι μόνον ξυνίησι, τὰ δ᾽ ἄλλα αἰσθάνεται μέν, οὐ ξυνίησι δέ.

**B 2** = Pseudo-Aristotelés, Problemata 17, 3; 916a33
τοὺς ἀνθρώπους φησὶν ᾽Αλκμαίων διὰ τοῦτο ἀπόλλυσθαι, ὅτι οὐ δύνανται τὴν ἀρχὴν τῶι τέλει προσάψαι.

**B 3** = Áetios V, 14, 1
᾽Αλκμαίων τῶν ἡμιόνων τοὺς μὲν ἄρρενας ἀγόνους παρὰ τὴν λεπτότητα τῆς θορῆς καὶ ψυχρότητα, τὰς δὲ θηλείας παρὰ τὸ μὴ ἀναχάσκειν τὰς μήτρας· οὕτω γὰρ αὐτὸς εἴρηκε.

**B 4** = Áetios V, 30, 1 (Dox. 442)
᾽Αλκμαίων τῆς μὲν ὑγιείας εἶναι συνεκτικὴν τὴν ἰσονομίαν τῶν δυνάμεων, ὑγροῦ, ξηροῦ, ψυχροῦ, θερμοῦ, πικροῦ, γλυκέος καὶ τῶν λοιπῶν, τὴν δ᾽ ἐν αὐτοῖς μοναρχίαν νόσου ποιητικήν· φθοροποιὸν γὰρ ἑκατέρου μοναρχίαν. καὶ νόσον συμπίπτειν ὡς μὲν ὑφ᾽ οὗ ὑπερβολῆι θερμότητος ἢ ψυχρότητος, ὡς δὲ ἐξ οὗ διὰ πλῆθος τροφῆς ἢ ἔνδειαν, ὡς δ᾽ ἐν οἷς ἢ αἷμα ἢ μυελὸν ἢ ἐγκέφαλον. ἐγγίνεσθαι δὲ τούτοις ποτὲ κἀκ τῶν ἔξωθεν αἰτιῶν, ὑδάτων ποιῶν (?) ἢ χώρας ἢ κόπων ἢ ἀνάγκης ἢ τῶν τούτοις παραπλησίων. τὴν δὲ ὑγείαν τὴν σύμμετρον τῶν ποιῶν κρᾶσιν.

**B 5** = Kléméns Alexandrijský, Stromata VI, 16
᾽Αλκμαίωνος γὰρ τοῦ Κροτωνιάτου λέγοντος·
᾽ἐχθρὸν ἄνδρα ῥᾶιον φυλάξασθαι ἢ φίλον᾽
ὁ μὲν Σοφοκλῆς ἐποίησεν ἐν τῆι ᾽Αντιγόνηι (652)·
᾽τί γὰρ γένοιτ᾽ ἂν ἕλκος μεῖζον ἢ φίλος κακός;᾽